§. υνα΄. Καὶ ἐπὶ τῶν ἐκ κατηγορουμένου δὲ ὡσαύτως στερητικοῦ (§. υδ΄.), αὐτὰ δὴ ταῦτα κρατήσει τὰ εἰρημένα (§. υμη. κζ΄.) ταῖς ἐκ θετικοῦ παρατιθεμένων, τῆς στερήσεως κατὰ τὴν παράθεσιν, ὅσα καὶ ἡ ἄρνησις δυναμένης.

§. υνβ΄. Ὅπως δὲ καὶ αἱ μετὰ τρόπου (§. υϛ΄.) ἔχουσι πρὸς ἀντίθεσιν, οὐ δυσχερὲς ἂν εἴη μαθεῖν, σημειώσαντας ἐν αὐταῖς, οὐ μόνην τὴν τῶν ὅρων ἐν καταφάσει ἢ ἀποφάσει ἀπόδοσιν, ἀλλὰ καὶ ὅπως αὐτοὶ συναφείας ἔχουσι τῆς πρὸς ἀλλήλους ἢ διαφορᾶς, τὸ σκοπιμώτατον· ὅπερ ἄρα καὶ οἱ τρόποι προσληφθέντες (§. υϛ΄. υζ΄.) ἐκδηλοῦν βούλονται. Ταύτῃ τοι καὶ τῶν ἀλλοιοτρόπων, ἐν αἷς καταλλήλως τοῖς τρόποις ἔχουσι πρὸς ἀλλήλους οἱ ὅροι, αἱ μὲν διὰ τοῦ ἀναγκαίως τε καὶ ἀδυνάτως τροπολογούμεναι, τῶν τρόπων τούτων τοῖς προσδιορισμοῖς Πᾶς, καὶ Οὐδεὶς ἰσοδυναμούντων (§. υζ΄.), εἰσὶν ἐναντίαι τὴν μάχην, ἐπ᾽ ἀμφοῖν τῶν ὑλῶν κατ᾽ ἐκείνας (§. υμα΄.), τ᾽ ἀληθὲς καὶ τὸ ψεῦδος διαμεριζόμεναι. Αἱ δὲ διὰ τοῦ ἐνδεχομένως, ἢ δυνατῶς, καὶ ἐνδεχομένως μὴ, ἢ δυνατῶς μὴ, τῶν τοῖς Τὶς, καὶ Οὐ πᾶς ἰσοσθενούντων, (§. Αὐτ.) εἰσὶν ὑπεναντίαι ἐπὶ ὕλης ἐνδεχομένης συνιστάμεναι, καὶ κατὰ τὰς ὑπεναντίας (§. υμβ΄.), καὶ συναληθεύουσαι.

§. υνγ΄. Τῶν δὲ ὁμοιοτρόπων ἡ μάχη, τοῦ ἀρνητικοῦ μορίου τοῖς τρόποις συντασσομένου, ἐπιρρηματικῶς κειμένοις, ἢ καὶ τῷ συνδέσμῳ τοῦ τρόπου ἐστὶ προσκατηγορουμένῳ, ἢ ἐξυπακουομένῳ, ἐὰν κατηγορικῶς τύχωσιν ἐκφερόμεναι (§. υϛ΄. υμδ΄.), μάχη κατ᾽ ἀντίφασιν ἐστίν. Ἐφ᾽ οἱασοῦν γὰρ ὕλης καὶ αὐταὶ, κατὰ τὰς ἀντιφατικῶς μαχομένας (§. υμ΄.) ἔχουσιν ἀσυμβάτως· Οἷον ἀναγκαίως ὁ ἄνθρωπος ἐστὶ λογικὸς, οὐκ ἀναγκαίως ἐστὶ λογικός· ἀληθὲς τὸ πρῶτον. Καὶ ἀδύνατον ἐστὶ τὸν ἄνθρωπον εἶναι λίθον, καὶ οὐκ ἔστιν ἀδύνατον· ψευδὲς τὸ δεύτερον. Καὶ ἐνδεχόμενον τὸν ἄνθρωπον εἶναι δίκαιον, καὶ οὐκ ἐνδεχόμενον. Καὶ δυνατὸν τὸν ἄνθρωπον πλουτήσειν, καὶ οὐ δυνατόν· ψευδεῖς αἱ ἀποφάσκουσαι. Ἀλλ᾽ εἴτις δὴ τοῦ κατὰ τὴν ἀπόδοσιν προσκατηγορουμένου, ἢ τοῦ κατηγορουμένου αὐτοῦ προτάξειε τὸ τῆς ἀρνήσεως μόριον, οὐκ εὐθυβόλως τὴν ἀντίφασιν τῶν μετὰ τρόπου θηράσεται, φίλας ἀντὶ πολεμίων αὐτὰς κομισάμενος. Αἱ γὰρ ἀναγκαίως ὁ ἄνθρωπος ἐστὶ φιλόσοφος, καὶ ἀναγκαίως οὐκ ἔστι φιλόσοφος, (εἰμὴ ἀντὶ τοῦ οὐκ ἀναγκαίως τοῦτο προσῖκα νοηθῇ) ἄμφω ψευδεῖς. Καὶ αἱ ἀδύνατον εἶναι δίκαιον, καὶ ἀδύνατον μὴ



μὴ εἶναι δίκαιον, ὁμοίως συμψεύδονται. Αἱ δὲ ἐνδεχόμενον, ἢ δυνατὸν πένεσθαι, καὶ μὴ πένεσθαι, συναληθεύουσι. Τοῦ γὰρ μορίου καὶ τῷ τρόπῳ συμφερομένου καὶ τῷ λεγομένῳ, ἢ τῷ ἑτέρῳ, ἢ οὐδετέρῳ, ἄλλοτε ἄλλως, οὕτως ὥστε τῇ πρὸ τοῦ λεγομένου ἀρνήσει τὰς τροπικὰς ταῖς ἐκ μεταθέσεως προσεοικέναι, δυνατὸν καὶ πάντα τὰ τῶν Ἀντιθέσεων εἴδη, κἂν ταῖς μετὰ τρόπου ἐπιθεωρεῖν· ῥᾶστον δὲ τῷ βουλομένῳ ἐν διαγράμματι ἐκθέσθαι αὐτὰς καὶ τεχνολογῆσαι. (1).

## ΚΕΦ. ΕΚΤΟΝ.

### Περὶ τῆς τῶν Προτάσεων ἰσοδυναμίας.

§. υνδ΄.

Ἡ δὲ Ἰσοδυναμία ὁμόνοιά τις οὖσα τῶν ὁπωσοῦν μαχομένων προτάσεων, ἀναιρετικόν τι ἐστὶ τῆς ἐν αὐταῖς ἀντιθέσεως παρεπόμενον· τὰς γὰρ δι᾽ ἐκείνην ἀντιπιπτούσας συνᾴδειν αὕτη ποιεῖ, καὶ κατά τινα λεκτικὴν διαφορὰν ἐπὶ τὸν αὐτὸν νοῦν συνελαύνει.

§. υνε΄. Τῶν μὲν οὖν ὡς ἐκ τοῦ κατηγορουμένου ἀντιθέτων (§. υλε΄.) τὰς ἐναντίας, ἢ κατὰ σχέσιν (§. υλϛ΄.) μαχομένας, οἱ κατηγορούμενοι ὅροι θετικοὶ ὄντες, ἰσοδυναμεῖν οὐκ ἐπιτρέπουσιν. Οὐδεμία γὰρ μηχανὴ εἰς τὸ ἐναντίον, ἢ τὸ ἀντισχετικὸν ἀνακαλέσαι τὰ ἀντιβαίνοντα. Ἐπεὶ καὶ τοῦ ἀρνητικοῦ εἰς τοῦτο μορίου παραληφθέντος, ἀρθήσεται μὲν ὁ προϋπὸν εἶδος, οὐ μὴν δὲ παρ᾽ αὐτὸ καὶ εἰς τὴν τοῦ ἀντικειμένου μεταστήσεται θέσιν. Οἷον τὸ μὴ ὂν θερμὸν, οὐ ταύτηγε καὶ ψυχρὸν, ὅτι οὐ θερμόν· οὐδ᾽ ὁ μὴ υἱὸς, δι᾽ αὐτὸ τοῦτο πατήρ. Πολλὰ γὰρ τῶν οὐδετέρων, πολ-



(1)

A

Ἀναγκαῖον εἶναι.
Ἀδύνατον μὴ εἶναι.
Οὐ δυνατὸν, οὐκ ἐνδεχόμεν. μὴ εἶναι.

E

Ἀναγκαῖον μὴ εἶναι.
Ἀδύνατον εἶναι.
Οὐ δυνατὸν, οὐκ ἐνδεχόμεν. εἶναι.

I

Οὐκ ἀναγκαῖον μὴ εἶναι.
Οὐκ ἀδύνατον εἶναι.
Δυνατὸν, ἐνδεχόμενον εἶναι.

O

Οὐκ ἀναγκαῖον εἶναι.
Οὐκ ἀδύνατον μὴ εἶναι.
Δυνατὸν, ἐνδεχόμενον μὴ εἶναι.